εἰ ὀλίγοι εἰσὶν ἢ πολλοί· 19καὶ τίς ἡ γῆ, εἰς ἣν οὗτοι ἐγκάθηνται 19
ἐπ᾽ αὐτῆς, εἰ καλή ἐστιν ἢ πονηρά· καὶ τίνες αἱ πόλεις, εἰς ἃς
οὗτοι κατοικοῦσιν ἐν αὐταῖς, εἰ ἐν τειχήρεσιν ἢ ἐν ἀτειχίστοις·
20καὶ τίς ἡ γῆ, εἰ πίων ἢ παρειμένη, εἰ ἔστιν ἐν αὐτῇ δένδρα ἢ 20
οὔ· καὶ προσκαρτερήσαντες λήμψεσθε ἀπὸ τῶν καρπῶν τῆς γῆς.
καὶ αἱ ἡμέραι ἡμέραι ἔαρος, πρόδρομοι σταφυλῆς. 21καὶ ἀναβάντες 21
κατεσκέψαντο τὴν γῆν ἀπὸ τῆς ἐρήμου Σιν ἕως Ρααβ εἰσπορευο-
μένων Εφααθ. 22καὶ ἀνέβησαν κατὰ τὴν ἔρημον καὶ ἦλθον ἕως 22
Χεβρων, καὶ ἐκεῖ Αχιμαν καὶ Σεσσι καὶ Θελαμιν γενεαὶ Εναχ· καὶ
Χεβρων ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τάνιν Αἰγύπτου. 23καὶ 23
ἤλθοσαν ἕως Φάραγγος βότρυος καὶ κατεσκέψαντο αὐτήν· καὶ
ἔκοψαν ἐκεῖθεν κλῆμα καὶ βότρυν σταφυλῆς ἕνα ἐπ᾽ αὐτοῦ καὶ
ἦραν αὐτὸν ἐπ᾽ ἀναφορεῦσιν καὶ ἀπὸ τῶν ῥοῶν καὶ ἀπὸ τῶν συ-
κῶν. 24τὸν τόπον ἐκεῖνον ἐπωνόμασαν Φάραγξ βότρυος διὰ τὸν 24
βότρυν, ὃν ἔκοψαν ἐκεῖθεν οἱ υἱοὶ Ισραηλ.
25Καὶ ἀπέστρεψαν ἐκεῖθεν κατασκεψάμενοι τὴν γῆν μετὰ τεσσα- 25
ράκοντα ἡμέρας 26καὶ πορευθέντες ἦλθον πρὸς Μωυσῆν καὶ Ααρων 26
καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ισραηλ εἰς τὴν ἔρημον Φαραν
Καδης καὶ ἀπεκρίθησαν αὐτοῖς ῥῆμα καὶ πάσῃ τῇ συναγωγῇ καὶ
ἔδειξαν τὸν καρπὸν τῆς γῆς. 27καὶ διηγήσαντο αὐτῷ καὶ εἶπαν 27
Ἤλθαμεν εἰς τὴν γῆν, εἰς ἣν ἀπέστειλας ἡμᾶς, γῆν ῥέουσαν γάλα καὶ
μέλι, καὶ οὗτος ὁ καρπὸς αὐτῆς· 28ἀλλ᾽ ἢ ὅτι θρασὺ τὸ ἔθνος τὸ 28
κατοικοῦν ἐπ᾽ αὐτῆς, καὶ αἱ πόλεις ὀχυραὶ τετειχισμέναι καὶ μεγά-
λαι σφόδρα, καὶ τὴν γενεὰν Εναχ ἑωράκαμεν ἐκεῖ, 29καὶ Αμαληκ 29
κατοικεῖ ἐν τῇ γῇ τῇ πρὸς νότον, καὶ ὁ Χετταῖος καὶ ὁ Ευαῖος
καὶ ὁ Ιεβουσαῖος καὶ ὁ Αμορραῖος κατοικεῖ ἐν τῇ ὀρεινῇ, καὶ ὁ
Χαναναῖος κατοικεῖ παρὰ θάλασσαν καὶ παρὰ τὸν Ιορδάνην ποτα-
μόν. 30καὶ κατεσιώπησεν Χαλεβ τὸν λαὸν πρὸς Μωυσῆν καὶ εἶπεν 30
αὐτῷ Οὐχί, ἀλλὰ ἀναβάντες ἀναβησόμεθα καὶ κατακληρονομήσομεν
αὐτήν, ὅτι δυνατοὶ δυνησόμεθα πρὸς αὐτούς. 31καὶ οἱ ἄνθρωποι 31
οἱ συναναβάντες μετ᾽ αὐτοῦ εἶπαν Οὐκ ἀναβαίνομεν, ὅτι οὐ μὴ
δυνώμεθα ἀναβῆναι πρὸς τὸ ἔθνος, ὅτι ἰσχυρότερόν ἐστιν ἡμῶν
μᾶλλον. 32καὶ ἐξήνεγκαν ἔκστασιν τῆς γῆς, ἣν κατεσκέψαντο αὐ- 32
τήν, πρὸς τοὺς υἱοὺς Ισραηλ λέγοντες Τὴν γῆν, ἣν παρήλθομεν
αὐτὴν κατασκέψασθαι, γῆ κατέσθουσα τοὺς κατοικοῦντας ἐπ᾽ αὐτῆς
ἐστιν· πᾶς ὁ λαός, ὃν ἑωράκαμεν ἐν αὐτῇ, ἄνδρες ὑπερμήκεις·

18 ει 2⁰] η B || 19 αυτης] -την A† | ει 1⁰ 2⁰] η B | ατιχισταις B*†: cf. Thack. § 12, 1 || 20 ει 1⁰ compl.] η BA | ει 2⁰] η B | εαρος] αερος B* || 21 ρααβ] ρωωβ A | εφααθ] αιμαθ A || 22 αχικαμ A† | σεσσ(ε)ι] σεμει A† | ενακ A || 23 ηλθον B | κληματα B† | ηρον A | συκων] σικυων B*† || 25 επεστρεψαν A || 26 τη > B || 27 εις 2⁰ > B || 28 επ αυτης] την γην A | αι > B | και 2⁰ > A | εναχ] αινακ A || 29 τη 2⁰ > A | και ult. — fin. > B*† || 31 αυτου] -των A || 32 της] pr. επι B*† | πας] pr. και A | fin.] + εκει B†